29η Αὐγούστου

Μνήμη τῆς ἀποτομῆς τῆς τιμίας Κεφαλῆς τοῦ ἁγίου, ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ, Ἰωάννου, τῆς ὁσίας Θεοδώρας τῆς ἐν Θεσσαλονίκῃ, τῆς ἐξ Αἰγίνης καταγομένης.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Ὁ Διάκονος

Εὐλόγησον, Δέσποτα.

Ὁ Ἱερεὺς

Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης

Ἀμήν.

Ὁ Ἱερεὺς

Δόξα Σοι, ὁ Θεὸς ἡμῶν, δόξα Σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

Ὁ Ἀναγνώστης

Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός Σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά Σου, ἐλθέτω ἡ Βασιλεία Σου, γενηθήτω τὸ θέλημά Σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ Ἱερεύς

Ὅτι Σοῦ ἐστιν ἡ Βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης

Ἀμήν.

καὶ τὰ τροπάρια.

Σῶσον, Κύριε, τὸν λαόν Σου καὶ εὐλόγησον τὴν κληρονομίαν Σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ σταυροῦ Σου πολίτευμα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ὁ ὑψωθεὶς τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ Σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς Σου δώρησαι, Χριστὲ ὁ Θεός. Εὔφρανον ἐν τῇ δυνάμει Σου τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων. Τὴν συμμαχίαν ἔχοιεν τὴν Σήν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδης ἀγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε. Στήριξον ὀρθοδόξων πολιτείαν, σῷζε οὓς ἐκέλευσας βασιλεύειν καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην, διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.

Ὁ Ἱερεύς.

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Χορός, βαρείᾳ φωνῇ, μεθ’ ἑκάστην δέησιν.




Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), τοῦ τιμίου Πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ κλήρου καὶ τοῦ λαοῦ.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεός  ὑπάρχεις καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἦχος Δι

Ὁ Ἀναγνώστης

Α μην Ἐν ὀνόματι Κυρίου, εὐλό γη σον Πα τερ

Ὁ Ἱερεύς

Δόξα τῇ Ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης

Ἀμήν.

Καὶ ἀναγιγνώσκει τὸν ἑξάψαλμον.

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.(τρίς)

Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου. (δίς)

Ψαλμός γ' (3ος)

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ. Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. Σὺ δὲ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα καὶ ἐπήκουσέ μου ἐξ ὄρους Ἁγίου αὐτοῦ. Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα. Ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι. Ἀνάστα, Κύριε, σῶσον με, ὁ Θεός μου. Ὅτι Σὺ ἐπάταξας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας. Τοῦ Κυρίου ἡ σωτηρία καὶ ἐπὶ τὸν λαόν Σου ἡ εὐλογία Σου.

Καὶ πάλιν

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα. Ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Ψαλμός λζ' (37ος)

Κύριε, μὴ τῷ θυμῷ Σου ἐλέγξεις με, μηδὲ τῇ ὀργῇ Σου παιδεύσεις με. Ὅτι τὰ βέλη Σου ἐνεπάγησάν με καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρα Σου. Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου, ἀπὸ προσώπου τῆς οργῆς Σου, οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου, ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, Ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. Ὅτι

αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου. Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα, ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου. Κύριε, ἐναντίον Σου πᾶσα ἡ ἐπιθυμία μου καὶ ὁ στεναγμός μου ἀπὸ Σοῦ οὐκ ἀπεκρύβη. Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίον μου ἤγγισαν καὶ ἔστησαν καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν. Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας καὶ δολιότητας Ὅλην τὴν ἡμέραν ἐμελέτησαν. Ἐγὼ δὲ, ὡσεὶ κωφός, οὐκ ἤκουον καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. Ὅτι ἐπὶ Σοί, Κύριε, ἤλπισα, Σὺ εἰσακούσῃ, Κύριε ὁ Θεός μου. Ὅτι εἶπον· μήποτε ἐπιχαρῶσι μοι οἱ ἐχθροί μου καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησαν. Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μου ἐστί διὰ παντός. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμὲ καὶ ἐπληθύνθησαν οἱ μισοῦντες με ἀδίκως. Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην. Μὴ ἐγκαταλείπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου.

## Καὶ πάλιν

Μὴ ἐγκαταλείπῃς με, Κύριε ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου.

## Ψαλμός ξβ' (62ος)

Ὁ Θεός, ὁ Θεός μου, πρὸς Σὲ ὀρθρίζω. Ἐδίψησέ Σε ἡ ψυχή μου, ποσαπλῶς Σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ. Οὕτως ἐν τῷ Ἁγίῳ ὤφθην Σοι, τοῦ ἰδεῖν τὴν δύναμίν Σου καὶ τὴν δόξαν Σου. Ὅτι κρεῖσσον τὸ ἔλεός Σου ὑπὲρ ζωάς, τὰ χείλη μου ἐπαινέσουσί Σε. Οὕτως εὐλογήσω Σε ἐν τῇ ζωῇ μου καὶ ἐν τῷ ὀνόματί Σου ἀρῶ τὰς χεῖράς μου. Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου. Εἰ ἐμνημόνευόν Σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς Σέ. Ὅτι ἐγενήθης βοηθός μου καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων Σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω Σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά Σου. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς, παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται. Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

## Καὶ πάλιν

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς Σέ. Ὅτι ἐγενήθης βοηθός μου καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων Σου ἀγαλλιάσομαι. Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω Σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά Σου.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἀλληλούια, ἀλληλούια, ἀλληλούια. Δόξα Σοι ὁ Θεός.

Κύριε, ἐλέησον (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

## Ψαλμός πζ' (87ος)

Κύριε, ὁ Θεός τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον Σου. Εἰσελθέτω ἐνώπιόν Σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς Σου εἰς τὴν δέησίν μου. Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου καὶ ἡ ζωή μου τῷ ᾅδη ἤγγισε. Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ωσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος. Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι καὶ αὐτοὶ ἐκ τῆς χειρός Σου ἀπώσθησαν. Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου. Ἐπ' ἐμέ ἐπεστηρίχθη ὁ θυμός Σου καὶ πάντας τοὺς μετεωρισμούς Σου ἐπήγαγες ἐπ' ἐμέ. Ἐμάκρυνας τοὺς γνωστούς μου απ' ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς. Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην, οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας. Ἐκέκραξα πρὸς Σέ, Κύριε, ὅλην τὴν ἡμέραν διεπέτασα πρὸς Σὲ τὰς χεῖράς μου. Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί Σοι; Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός Σου καὶ τὴ ἀλήθειάν Σου ἐν τῇ ἀπωλείᾳ; Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά Σου καὶ ἡ δικαιοσύνη Σου ἐν γῇ ἐπιλελησμένῃ; Κἀγὼ πρὸς Σέ, Κύριε, ἐκέκραξα καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει Σε. Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν μου ἀπ' ἐμοῦ; Πτωχός εἰμι ἐγώ καὶ ἐν κόποις ἐκ νεότητός μου, ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην. Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί Σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με. Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα. Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

## Καὶ πάλιν

Κύριε, ὁ Θεός τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον Σου. Εἰσελθέτω ἐνώπιόν Σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς Σου εἰς τὴν δέησίν μου.

## Ψαλμός ρβ' (102ος)

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον καὶ πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον

πάσας τὰς νόσους σου. Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντα σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. Ποιῶν ἐλεημοσύνας ὁ Κύριος καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσεῖ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ. Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος, οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοῖς φοβουμένοις αὐτόν. Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμὼν. Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν, ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμὼν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν. Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ. Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν. Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσουσι τὴν διαθήκην αὐτοῦ καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

## Καὶ πάλιν

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ, εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

## Ψαλμός ρμβ' (142ος)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ Σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ Σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος καὶ ἠκηδίασεν ἐπ' ἐμέ τὸ πνεῦμά μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις Σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρὸς Σὲ τὰς χεῖρας μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν Σου ἀπ' ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός Σου, ὅτι ἐπὶ Σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς Σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ

ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, Ὅτι ἐγώ δοῦλός Σου εἰμί.

Καὶ πάλιν

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ Σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου Σου. (δίς)

Τὸ πνεῦμά Σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Ἀλληλούια, ἀλληλούια, ἀλληλούια. Δόξα Σοι ὁ Θεός (μετὰ μετανοιῶν)

Ἀλληλούια, ἀλληλούια, ἀλληλούια. Δόξα Σοι ὁ Θεός

Ἦχος 




Ὁ Διάκονος.

Ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός (μεθ' ἑκάστην δέησιν).

Κύριε ἐλέησον.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης …

Ὁ Ἱερεὺς

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμή, καὶ προσκύνησις, τῷ Πατρί καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἦχος 

Ὁ α΄ χορός.







Ὁ β΄ χορός.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Θεὸς Κύριος…

Ὁ α΄ χορός.

Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.




Ὁ β΄ χορός.

Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεὸς Κύριος…

Ὁ α΄ χορός.



νε δειχ θης γαρ ον τως και προ φη των σε βα σμι ω ω τε

ρος ο τι και εν ρει θροις βα πτι σαι κα τη ξι ω

θης τον κη ρυτ το ο μενον ο θεν της α λη θει ας υ

πε ρα θλη σας χαι αι αι αι ρων ευ ηγ γε λι σω και τοις εν

Α δη Θε ον φα νε ρω θεν τα εν σαρ κι τον αι ρον

τα την α μαρ τι αν του κο ο ο σμου και πα ρε χον

τα η μιν το με γα ε ε ε λε ος

Ὁ β΄ χορός.

Δο ξα Πα τρι και Υι ω και Α γι ω Πνευ

μα τι

Τὸ αὐτό·

Ὁ α΄ χορός.

Και νυν και α ει και εις τους αι ω νας των αι

ω νων α μην




Ὁ Διάκονος τὴν μικρὰν συναπτήν.

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ α΄χορός.




Ὁ Διάκονος

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ α΄χορός.




Ὁ Διάκονος

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορὸς χαμηλοφώνως

(Ὑπεραγία, Θεοτόκε, σῶσον ἡμᾶς.)

μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ α΄χορός.




Ὁ Ἱερεύς·

Ὅτι Σὸν τὸ κράτος, καὶ Σοῦ ἐστιν ἡ βασιλεία, καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.




Ὁ α΄ χορός




Μετὰ τὴν α΄ Στιχολογίαν Κάθισμα

Τὸν συνάναρχον Λόγον

Τὸν μεσίτην συμφώνως νόμου καὶ χάριτος, οἱ πιστοὶ συνελθόντες ἀνευφημήσωμεν, ὅτι μετάνοιαν ἡμῖν προεκήρυξε, καὶ Ἡρῴδην ἐμφανῶς, στηλιτεύσας εὐθαρσῶς, τήν κάραν αὐτοῦ ἐτμήθη, καὶ ἄρτι ζῶν μετ' Ἀγγέλων, Χριστῷ πρεσβεύει τοῦ σωθῆναι ἡμᾶς.

Ὁ β΄ χορός



## Ὁ α΄ χορός




## Ὁ β΄ χορός

## Θεοτοκίον

Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς συλλήψεως, καὶ ὁ ἄφραστος τόκος ὁ τῆς λοχείας σου, ἐν σοὶ ἐγνώρισται ἁγνὴ Ἀειπάρθενε, καταπλήττει μου τὸν νοῦν, καὶ ἐξιστᾷ τόν λογισμόν, ἡ δόξα σου Θεοτόκε, τοῖς πάσιν ἐφαπλουμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

## Μετὰ τὴν β΄ Στιχολογίαν

## Κάθισμα Ἦχος πλ. α΄

## Τὸν συνάναρχον Λόγον

Τὸν ἐκ μήτρας Προφήτην ἀναδειχθέντα ἡμῖν, καὶ ἐκ στείρας φωστῆρα τῇ οἰκουμένῃ φαιδρῶς, προελθόντα ἐν ᾠδαῖς ἀνυμνήσωμεν, τοῦ Χριστοῦ τὸν Βαπτιστήν, καὶ νικηφόρον ἀθλητήν, τὸν Πρόδρομον Ἰωάννην· πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

## Ὁ β΄ χορός




## Ὁ α΄ χορός



Ὁ β΄ χορός

Θεοτοκίον

Τὴν ταχεῖάν σου σκέπην καὶ τὴν βοήθειαν. Καὶ τὸ ἔλεος δεῖξον ἐπὶ τὸν δοῦλόν σου, καὶ τὰ κύματα ἁγνὴ καταπράϋνον, τῶν ματαίων λογισμῶν, καὶ τὴν πεσοῦσάν μου ψυχήν, ἀνάστησον Θεοτόκε· οἶδα γὰρ οἶδα Παρθένε, ὅτι ἰσχύεις ὅσα καὶ βούλοιο.

Ἦχος Νη

Μετὰ δὲ τὸν Πολυέλεον Κάθισμα

Ὁ α΄ Χορὸς

Τὴν Σοφίαν καὶ Λόγον

Ἐκ τῆς στείρας ἐκλάμψας ψήφῳ Θεοῦ, καὶ δεσμὰ διαρρήξας γλώσσης πατρός, ἔδειξας τὸν ἥλιον, ἑωσφόρον αὐγάζοντα, καὶ λαοῖς ἐν ἐρήμῳ, τὸν Κτίστην ἐκήρυξας, τὸν ἀμνὸν τὸν αἴροντα, τοῦ κόσμου τὰ πταίσματα· ὅθεν καὶ πρὸς ζῆλον, βασιλέα ἐλέγξας, τὴν ἔνδοξον κάραν σου, ἀπετμήθης ἀοίδιμε, Ἰωάννη πανεύφημε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Ὁ β΄ Χορὸς




Ὁ α΄ Χορὸς




Ὁ β΄ Χορὸς

Θεοτοκίον

Παναγία Παρθένε Μήτηρ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπά, θεράπευσον, δέομαι, καὶ συγγνώμην παράσχου μοι, τῶν ἐμῶν πταισμάτων, ἀφρόνως ὧν

ἔπραξα, καὶ τὸ σῶμα, μολύνας τὴν ψυχὴν ὁ ἄθλιος. Οἴμοι! τὶ ποιήσω, ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ Ἄγγελοι, τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος; Τότε Δέσποινα βοήθειά μου γενοῦ, καὶ προστάτης θερμότατος· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου ἄχραντε.

## Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Ἦχος δ΄.

### Ὁ α΄ Χορὸς




### Ὁ β΄ Χορὸς




### Ὁ α΄ Χορὸς






Ὁ β΄ Χορὸς




Τὰ αὐτὰ εἰς ἀργὸν μέλος

Ἦχος Βου



(Β)
το ος αν τι ι λα α α βου ου ου ου και σω ω σον Σω

ω τη η ηρ μου ου

Ὁ β΄ Χορὸς

τὸ αὐτό·

Ὁ α΄ Χορὸς

(Μ) (Ν) (Μ) (Β) (Μ) (Δ)
Θ ι μι σου ου ου ου ουν τε ες Σι ων αι αι αι σχυ

(Β)
υν θη η τε ε ε ε ε α πο ο του Κυ υ ρι ι ι

(Μ) (Π) (Μ)
ου ου ως χο ο ο ο ορ το ο ο ο ος γα αρ

(Ζ) (Β)
πυ υ ρι ι ι ι ε ε σε ε ε σθε ε ε ε α πε ξη

ρα α με ε ε ε νοι οι

Ὁ β΄ Χορὸς

τὸ αὐτό·

Ὁ α΄ Χορὸς

(Β)
Δ ο ξα Πα τρι και Υι ω ω και αι αι Α γι ι ω

Πωε ευ μα α τι ι


Α γι ω Πνε ευ μα α τι πα α α α α σα ψυ υ χη η η
η ζω ω ου ου ου ται και κα θα α α α αρ σει ει υ
ψου ου ου ου ται αι λα α αμ πρυ υ νε ε ε ται τη
τρι α δι κη η μοο ο να α α α α δι ι ι ι ι ε
ε ρο κρυ υ φι ι ι ωως
Ὁ β΄ Χορὸς
Και νυν και α ει ει και εις του ου ου αι αι ω ω ω νας
των αι ω ω ω νων α α α μη ην
Α γι ω Πνε ευ μα α τι ι α α να α βλυ
υ υ υ υ υ ζει τα α τη ης χα α α α α ρι το ο ος
ρει ει ει θρα α αρ δε ε ε ε ε ευ ο ο ο ον τα
α α πα σα αν τη η ην κτι ι ι ι ι ι σι ι ι ιν
προς ζω ο γο νι ι ι ι α αν

Ἦχος λ γ΄τος Βου

Ὁ α΄ χορός

Ἦχος λ γ΄τος Βου χ




Ὁ β΄ Χορός τὸ αὐτό·

Ὁ α΄ Χορὸς

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;




Ὁ β΄ Χορὸς




Ὁ διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός.




Ὁ ἱερεύς·

Ὅτι ἅγιος εἶ, ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἦχος β΄. Δι

Ὁ α΄ Χορὸς







Ὁ β΄ Χορὸς
τὸ αὐτό·
Ὁ α΄ Χορὸς




Ὁ β΄ Χορὸς




Ὁ διάκονος·

Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

Ὁ χορός.




Ὁ διάκονος·

Σοφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

Ὁ ἱερεύς·

Εἰρήνη πᾶσι.

Ὁ χορός.




Ὁ ἱερεύς·

Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ διάκονος·

Πρόσχωμεν.

Ὁ χορός.




Ὁ ἱερεὺς ἀπὸ τῶν βημοθύρων ἀναγινώσκει τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου.

κατὰ Ματθαῖον (ιδ΄ 1-13)

*(Ζήτει τῇ Τρίτῃ τῆς ζ΄ ἑβδομάδος τοῦ Ματθαίου).*

Τῷ καιρῷ ἐκείνῳ, ἤκουσεν Ἡρῴδης ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπεν τοῖς παισὶν αὐτοῦ· Οὗτός ἐστιν Ἰωάννης ὁ βαπτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. Ὁ γὰρ Ἡρῴδης κρατήσας τὸν Ἰωάννην ἔδησεν αὐτὸν καὶ ἔθετο ἐν φυλακῇ διὰ Ἡρῳδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ· ἔλεγεν γὰρ αὐτῷ ὁ Ἰωάννης· Οὐκ ἔξεστί σοι ἔχειν αὐτήν. Καὶ θέλων αὐτὸν ἀποκτεῖναι ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον. Γενεσίων δὲ ἀγομένων τοῦ Ἡρῴδου ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρῳδιάδος ἐν τῷ μέσῳ καὶ ἤρεσε τῷ Ἡρῴδῃ, ὅθεν μεθ᾿ ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται. Ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, Δός μοι, φησίν, ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. Καὶ ἐλυπήθη ὁ βασιλεὺς, διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους ἐκέλευσε δοθῆναι, καὶ πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ· καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι καὶ ἐδόθη τῷ κορασίῳ, καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς. Καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἦραν τὸ σῶμα καὶ ἔθαψαν αὐτό, καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ. Ἀκούσας δὲ ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ᾿ ἰδίαν· καὶ ἀκούσαντες οἱ ὄχλοι ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων.

Ὁ χορός·




Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης
τὸν ν΄ ψαλμόν, χῦμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἦχος β'. Δι

Ὁ α΄ Χορὸς



Ταις του Σου Προ δρο ο μου πρε σβει αις Ε ε λε η μον ε
ξα λει ψον τα πλη θη των ε μων ε ε γκλη μα των

Ὁ β΄Χορὸς

Και νυν και α ει και εις τους αι ω νας των αι ω νων α
μην

Ταις της Θε ο το κου ου πρε σβει αις Ε ε λε η μον ε
ξα λει ψον τα πλη θη των ε μων ε ε γκλη μα των

Ὁ α΄Χορὸς

Ελε η μον ε λε η σον με ο Θε ος κα τα το
με γα ε λε ο ος Σου και κα τα το πλη θος των οι κτιρ μων
Σου εξ α λει ψον το α νο ο μη μα μου

Τὸ Στιχηρὸν Ἰδιόμελον




Ὁ ἱερεύς

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου, καὶ εὐλόγησον τῆν κληρονομίαν Σου· ἐπίσκεψαι τὸν κόσμον Σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων· καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη Σου τὰ πλούσια, πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, οὗ τῆς Τιμίας κεφαλῆς τὴν ἀπότμησιν ἑορτάζομεν, τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων ἀποστόλων, τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν καὶ οἰκουμενικῶν

Διδασκάλων καὶ Ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου του Χρυσοστόμου, οὗ καὶ τὴν θείαν Λειτουργίαν ἐπιτελέσαμεν, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, Πατριαρχῶν ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος Ἐπισκόπου Τριμυθοῦντος τῶν θαυματουργῶν, τῶν Ἁγίων ἐνδόξων μεγάλων Μαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου καὶ Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρων Τήρωνος καὶ Στρατηλάτου καὶ Ἱερομαρτύρων Χαραλάμπους και Ἐλευθερίου, τῶν Ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν Ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακείμ καὶ ἄννης, τ... Ἁγί... (τοῦ Ναοῦ), τῆς ὁσίας Θεοδώρας τῆς ἐν Θεσσαλονίκῃ, τῆς ἐξ Αἰγίνης καταγομένης, ἧς καὶ τὴν μνήμην ἐπιτελοῦμεν καὶ πάντων Σου τῶν Ἁγίων· ἱκετεύομέν Σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων Σου καὶ ἐλέησον ἡμᾶς.

Ὁ α΄ Χορὸς




Ὁ β΄ Χορὸς τὸ αὐτό·

Ὁ α΄ Χορὸς




Ὁ β΄ Χορός·




Ὁ ἱερεύς

Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς Σου Υἱοῦ, μεθ' οὗ εὐλογητός εἶ, σὺν τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ Σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Μετὰ τοῦτο ψάλλονται οἱ Κανόνες,

ὁ τῆς Θεοτόκου

Ὠδὴ α΄

Ὁ κανὼν τῆς Θεοτόκου.

Ἦχος Γα

Ὁ α΄ Χορὸς







Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν· Ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Ὁ β΄ Χορὸς




Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν, εἰρήνευσον, Κόρη, τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου, Πανάμωμε.

Ὁ α΄ Χορὸς




Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ, Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

Ὁ β΄ Χορὸς




Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον, μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

καὶ τοῦ Ἁγίου οἱ δύο παρόντες

Κανὼν πρῶτος τοῦ Ἁγίου.

Ποίημα Ἰωάννου Μοναχοῦ.

Ἦχος καὶ εἱρμὸς ὁ αὐτός.

Ὑγρὰν διοδεύσας

Ὁ α´ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν ἀπὸ νηδύος στειρωτικῆς, φανέντα Προφήτην, τοῦ ἐκ μήτρας παρθενικῆς, κυοφορηθέντος ἀπορρήτως, τὸν ἱερὸν ἀνυμνήσωμεν Πρόδρομον.

Ὁ β´ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τοὺς ὅρους τῆς φύσεως ὑπερβάς, τῆς δικαιοσύνης, συνετήρησας τοὺς θεσμούς, παράνομον μῖξιν διελέγχων, μὴ δεδοικὼς βασιλέων θρασύτητα.

Ὁ α´ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τοῦ νόμου τῷ γάλακτι ἐκτραφείς, τὴν νομοθεσίαν, συναφείας τῆς νομικῆς, ὡς νόμου σφραγὶς ἐπισφραγίζων, ἀντικατέστης πρὸς μῖσος ἀκόλαστον.

Ὁ β´ Χορὸς




Θεοτοκίον

Τάξεις σε Ἀγγέλων καὶ τῶν βροτῶν, ἀνύμφευτε Μῆτερ, εὐφημοῦσιν ἀνελλιπῶς· τὸν Κτίστην γὰρ τούτων ὥσπερ βρέφος, ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

Κανὼν δεύτερος

Ἦχος λ/π Νη

Τὸν Ἰσραὴλ ἐκ δουλείας 8094a

Ὁ α΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν ὑπὲρ πάντας ἀνθρώπους, μαρτυρηθέντα ὑπὸ Χριστοῦ, ὡς Πρόδρομον καὶ φίλον αὐτοῦ, Ἰωάννην ἅπαντες, τὸν θεῖον εὐφημήσωμεν.

Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν τῆς ἐρήμου πολίτην, καὶ τῶν Ἀγγέλων σύσκηνον, τὸ καύχημα τοῦ νέου λαοῦ, Ἰωάννην ἅπαντες, τὸν θεῖον εὐφημήσωμεν.

Ὁ α΄ Χορὸς




Ἐπὶ τῇ μνήμῃ τοῦ Προδρόμου, ἀγγελικῶς χορεύσωμεν, καὶ τῷ Χριστῷ βοήσωμεν· Αὐτοῦ ταῖς ἱκεσίαις Χριστέ, εἰρήνευσον τὸν κόσμον σου.

Ὁ β΄ Χορὸς




Θεοτοκίον

Διὰ παντὸς Θεοτόκε, τὸν ἐκ σοῦ ἱκέτευε, ἀρρήτῳ λόγῳ σαρκωθέντα Θεόν, πάσης περιστάσεως, λυτρώσασθαι τοὺς δούλους σου.

Ὠδὴ γ'
τῆς Θεοτόκου

Ἦχος Γα

Ὁ α΄ Χορὸς




Οὐρανίας ἁψῖδος…

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, Σέ, Θεογεννῆτορ, Παρθένε, σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα, μόνη πανύμνητε.

Ὁ β΄ Χορὸς




Ἱκετεύω, Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην, διασκεδάσαι μου· σὺ γάρ, Θεόνυμφε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας, μόνη πανάχραντε.

Ὁ α΄ Χορὸς




Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον· πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα, Θεομακάριστε.

Ὁ β΄ Χορὸς




Χαλεπαῖς ἀρρωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ, Παρθένε, σύ μοι βοήθησον· τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, θησαυρόν, Πανάμωμε, τὸν ἀδαπάνητον.

Κανὼν πρῶτος τοῦ Ἁγίου.

Ἦχος  Γα

Σὺ εἶ τὸ στερέωμα 8076

Ὁ α΄χορός.

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Πανάσεμνον κόριον, τοῦ μεθυσμοῦ πλησθὲν ἔφησε· Δὸς μοι, τανῦν, κάραν Ἰωάννου, ὧ Ἡρῴδη ἐν πίνακι.

Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἡ παῖς ἐξωρχήσατο, καὶ ὡς παράνομον τέρψασα, τὸν Ἡρῴδην, πρὸς φόνον ἀνθέλκει, τοῦ Προδρόμου καὶ κήρυκος.

Ὁ α΄χορός.

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὢ σῆς ἀθλιότητος, Ἡρῴδη ἄφρον καὶ ἄνομε! ποίᾳ τόλμῃ, κόρης ἀσελγούσης, φόνον ἄδικον ἔπραξας;

Ὁ β΄ Χορὸς




Θεοτοκίον

Δὸς ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις σου Πάναγνε, τὰς προσβολάς, ἀποκρουομένη, τῶν δεινῶν περιστάσεων.

Ἕτερος

Ἦχος λ/π Γα

Οὐρανίας ἁψῖδος

Ὁ α΄χορός.

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Παλαιᾶς ὡς μεσίτης, καὶ τῆς Καινῆς Πρόδρομος, εὐαγγελικῶν κηρυγμάτων σὺ προϊστάμενος, μίξιν παράνομον, τυραννικὴν διελέγξας, εὐκλεῶς τὸν θάνατον χαίρων διήνυσας.

Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐκ μητρὸς παρανόμου, προβιβασθὲν κόριον, ἐκβεβακχευμένον τῇ μέθῃ, Ἡρῴδη ἔφησε· Δὸς ἐπὶ πίνακι, τὴν κεφαλὴν Ἰωάννου, τῇ μητρὶ χαρίσασθαι, δῶρον ποθούμενον.

Ὁ α΄χορός.



Τοὺς ἐλέγχους μὴ φέρων, ὁ ἀναιδὴς τύραννος, τῆς θεοφρουρήτου σου γλώττης, ἔνδοξε Πρόδρομε· κόρη προδίδωσι, θυμελικῶν ὀρχημάτων, τὴν σεπτήν σου ἔπαθλον, κάραν ἀοίδιμε.

Ὁ β΄ Χορὸς




Θεοτοκίον

Ἐνοικήσας Παρθένῳ, σωματικῶς Κύριε, ὤφθης τοῖς ἀνθρώποις, ὡς ἔπρεπε θεαθῆναί σε, ἣν καὶ ἀνέδειξας, ὡς ἀληθῆ Θεοτόκον, καὶ πιστῶν βοήθειαν, μόνε φιλάνθρωπε.

Ὁ Διάκονος τὴν μικρὰν συναπτήν.

Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

Ὁ α΄χορός.




Ὁ Διάκονος

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ α΄χορός.




Ὁ Διάκονος

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορός χαμηλοφώνως

(Ὑπεραγία, Θεοτόκε, σῶσον ἡμᾶς.)

μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Ὁ α΄χορός.




Ὁ Ἱερεύς·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.




Ὁ α΄ Χορός.




Κάθισμα

Τὸν τάφον σου Σωτὴρ

Τὸν Πρόδρομον Χριστοῦ, Βαπτιστὴν καὶ Προφήτην, τιμήσωμεν πιστοί, καθαρῷ συνειδότι, ὡς ἔνδοξον κήρυκα, μετανοίας διδάσκαλον, καὶ ὡς μάρτυρα, παναληθῆ τοῦ Σωτῆρος· τὴν γὰρ ἄνοιαν, τὴν τοῦ Ἡρῴδου ἐλέγξας, τὴν κάραν ἐκτέμνεται.




Ὁ β΄ χορός




Κατεπλάγη Ἰωσὴφ

Νῦν ἐπέφανεν ἡμῖν, ὁ τοῦ Σωτῆρος Βαπτιστής, καὶ εὐφραίνει νοητῶς, τὰς διανοίας τῶν πιστῶν, τὸ τῆς ἐρήμου καλλώπισμα, καὶ Προφητῶν ἡ σφραγίς· ὅθεν τοῦ Χριστοῦ ἐδείχθη Πρόδρομος, καὶ μάρτυς ἀψευδής, τῆς παρουσίας

αὐτοῦ· Πνευματικοῖς οὖν ᾄσμασι συμφώνως, τῷ Ἰωάννῃ βοήσωμεν· Προφῆτα κήρυξ, τῆς ἀληθείας, πρέσβευε τοῦ σωθῆναι ἡμᾶς.

Ὁ α΄ χορός




Θεοτοκίον

Κατεπλάγησαν Ἁγνή, πάντες Ἀγγέλων οἱ χοροί, τὸ μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν, πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτός, ταῖς  σαῖς συνέχεται, καὶ δέχεται ἀρχήν, ὁ προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν, ὁ τρέφων, πνοὴν ἀφάτῳ χρηστότητι; καὶ σὲ ὡς ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσιν.

ᾨδὴ δ΄ ([1])

Ὁ κανὼν τῆς Θεοτόκου.

Ἦχος  Γα

Ὁ β΄ Χορὸς




Εἰσακήκοα Κύριε

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

Ὁ α΄ Χορὸς




[1] Αἱ ᾠδαὶ δ΄, ε΄ καὶ ϛ΄ συνήθως εἰς τὰς ἐνορίας δὲν ψάλλονται, ὁπότε εἰς τὸ τελευταῖον κάθισμα γίνεται κατάληξις καὶ ὁ Διάκονος λέγει τὴν μικρὰν συναπτήν.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν Εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε.

Ὁ β΄ Χορὸς




Ἀπολαύοντες Πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

Ὁ α΄ Χορὸς




Οἱ ἐλπίδα καὶ στήριγμα καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε Πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

Ἦχος Γα

Σύ μου ἰσχὺς Κύριε

Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐκ ἐνεγκών, τὸ τῶν ἐλέγχων ἀπότομον, ὁ τοῦ νόμου, ταῖς ποιναῖς ὑπεύθυνος, οὐ παρρησίαν θεοσεβῆ, ὁ ταῖς ἀσελγείαις τῶν ἡδονῶν συμφυρόμενος, δεσμήσας συνετήρει, τὸν ἀΰλως τοῖς ἄνω, πρὸ τοῦ τέλους χοροῖς συναπτόμενον.

Ὁ α΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ψυχοβλαβῆ, μέθην καὶ οἶστρον ἀκόλαστον, ἐκνοσήσας, ἔκδοτος ὁ δείλαιος, τοῖς χορικοῖς, κρότοις τῶν ποδῶν, ἀποδεδειγμένος, φονεὺς Προφήτου γεγένηται· συνέλαβε γὰρ μέθην, ἀσωτίας μητέρα, καὶ δεινὴν ἀνομίαν ἀπέτεκεν.

Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὄντως ἐν σοί, οὐ διεψεύσθη ἡ θεία φωνή, τῶν Προφητῶν· σὺ γὰρ πέλεις περισσότερος, ὡς προφητείαις ἀξιωθείς, ἐξ αὐτῆς νηδύος, ἐν ἀτελεῖ τῷ τοῦ σώματος, καὶ τὸν προφητευθέντα, ὑπὸ σοῦ Θεὸν Λόγον, καὶ ἰδὼν καὶ βαπτίσας ἐν σώματι.

Ὁ α΄ Χορὸς




Θεοτοκίον

Σὺ τῶν πιστῶν, καύχημα πέλεις ἀνύμφευτε, σὺ προστάτις, σὺ καὶ καταφύγιον, Χριστιανῶν τεῖχος καὶ λιμήν· πρὸς γὰρ τὸν Υἱόν σου, ἐντεύξεις φέρεις Πανάμωμε, καὶ σῴζεις ἐκ κινδύνων τοὺς ἐν πίστει καὶ πόθῳ, Θεοτόκον ἁγνὴν σε γινώσκοντας.

Ἕτερος

Ἦχος λ/π Νη

Ἐξ ὄρους κατασκίου 8019

Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐκ ἔφερε τοὺς σοὺς ἐλέγχους ὁ Ἡρῴδης, θεράπον τοῦ Χριστοῦ, παμμάκαρ, Ἰωάννη· ὅθεν ὁπλίζει τὸν ἄδικον πρὸς σὲ φόνον, οὐκ αἰδεσθείς σου τὸ σεβάσμιον.

Ὁ α΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οἴστρῳ καὶ τῇ μέθῃ, ὁμοῦ βεβακχευμένος, ὁ ἄδικος βασιλεύς, σὲ παμμάκαρ παρανόμως, θανατηφόρῳ ἀπάγει ψήφῳ Προφῆτα, οὐκ αἰδεσθείς σου τὸ σεβάσμιον.

Ὁ β΄ Χορὸς




Τῆς κόρης ὁ δεινός, ὑπαχθεὶς τοῖς λόγοις, Ἡρῴδης δυσσεβής, τῇ μοιχαλίδι δῶρον τὴν κεφαλήν σου, Προφῆτα ὄντως περέχει, ἀφ' ἧς πηγάζεις χάριν πᾶσιν ἡμῖν.

Ὁ α΄ Χορὸς




## Θεοτοκίον

Χαίροις παρ᾽ ἡμῶν, ἁγία Θεοτόκε, χαῖρε ἡ χαράν, κυήσασα τῷ κόσμῳ, χαῖρε ἡ μόνη ἀντίληψις τῶν ἀνθρώπων,

Ὁ β΄ Χορὸς

εὐλογημένη Θεοτόκε ἁγνή.

## ᾨδὴ ε΄

Ὁ κανὼν τῆς Θεοτόκου.

Ἦχος Γα

Ὁ α΄ Χορὸς




Φώτισον ἡμᾶς

Ἔμπλησον ἁγνή, εὐφροσύνης τὴν καρδίαν μου, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης, ἡ γεννήσασα τὸν αἴτιον.

Ὁ β΄ Χορὸς




Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων Θεοτόκε ἁγνή, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν.

Ὁ α΄ Χορὸς



Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα, τὸ θεῖον καὶ προαιώνιον.

Ὁ β΄ Χορὸς




Ἴασαι Ἁγνή, τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν, τῇ πρεσβείᾳ σου παράσχου μοι.

Ἦχος  Γα

Ἵνα τὶ με ἀπώσω

Ὁ α΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μητρικαῖς ὑποθήκαις, ἆθλον τῆς ὀρχήσεως τῆς κακοδαίμονος, τῆς ὠμῆς λεαίνης, ὁ ὠμότερος σκύμνος ᾐτήσατο, ἣν καὶ θῆρες πάντες, ἐν ἐρημίαις ηὐλαβοῦντο, κεφαλὴν τοῦ Προδρόμου καὶ κήρυκος.

Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὢ τῶν σῶν ἀνεφίκτων, καὶ ἀκαταλήπτων κριμάτων φιλάνθρωπε! ὅτι τοῦ ἐκ μήτρας, πεφηνότος δοχεῖον τοῦ Πνεύματος, καὶ συναυξηθέντος, τῇ σωφροσύνῃ καὶ ἁγνείᾳ, ἀσελγές, κατωρχήσατο κόριον.

Ὁ α΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Προσφιλὲς καὶ οἰκεῖον, τῷ τὴν συζυγίαν τὴν ἄσεμνον στέργοντι, γενεσίων πότοις, καὶ Προφήτου συνάψαι ἀναίρεσιν, καὶ κρατῆρα πλήρη, προφητικῶν τοῖς φιληδόνοις, καὶ ἁγίων αἱμάτων κεράσασθαι.

Ὁ β΄ Χορὸς




Θεοτοκίον

Μητρικὴν παρρησίαν, τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη Πάναγνε, συγγενοῦς προνοίας, τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα, ὅτι σὲ καὶ μόνην, Χριστιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ἕτερος

Ἦχος Γα

Ὁ α΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὀρθρίζοντες βοῶμέν σοι

Ὀρχήσεως ἐδίδοτο μίσθωμα, δι' ἀπάτης, τῇ κόρῃ ἐν πίνακι, Προδρόμου κάρα, ὢ ἄνοια!

Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῷ λύθρῳ σταζομένης τῆς κάρας σου, Θεοκήρυξ, μοιχαλὶς ἐτέρπετο, φρονοῦσα μέγα, ὢ ἄνοια!

Ὁ α΄ Χορὸς




Σιγᾶν σου μὲν τὴν γλῶτταν ὑπέλαβεν, ὁ Ἡρῴδης, ἡ δὲ καὶ σιγήσασα, πλέον ἐλέγχει πανεύφημε.

Ὁ β΄ Χορὸς




Θεοτοκίον

Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε, Θεοτόκε· σὺ γὰρ τὸν Θεὸν Λόγον,

Ὁ α΄ Χορὸς

σαρκὶ τῷ κόσμῳ ἐκύησας.

Ὠδὴ ς΄

Ὁ κανὼν τῆς Θεοτόκου.

## Ἦχος Γα

Ὁ β΄ Χορὸς




Τὴν δέησιν ἐκχεῶ

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Ὁ α΄ Χορὸς




Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν· καὶ δέομαι διαπαντός· Ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με.

Ὁ β΄ Χορὸς




Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμὸν ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτί σου ἀεὶ ἀγαλλόμεθα· Ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον.

Ὁ α΄ Χορὸς




Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου· ἀλλ᾽ ἡ Θεὸν καὶ Σωτῆρα τοῦ κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα, σοῦ δέομαι τῆς ἀγαθῆς· Ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

Ἦχος Γα

Ἱλάσθητί μοι Σωτὴρ

Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τοῦ νόμου τῶν ἐντολῶν, προκινδυνεύων μακάριε, ἐλέγχοις παιδαγωγεῖς, τὸν παρανομήσαντα· οὐ γὰρ ἔφυς κάλαμος, δυσμενῶν πνευμάτων, ῥιπιζόμενος προσπνεύσεσι.

Ὁ α΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῷ λύθρῳ τῷ τῆς σφαγῆς, ἡ κεφαλὴ σταζομένη, ἠνέχθη τῶν πορνικῶν ἀγώνων εἰς μίσθωμα, Ἡρῴδην ἐλέγχουσα, καὶ μετὰ τὸ τέλος, ὡς τὴν φύσιν συνθολώσαντα.

Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐρήμους περιπολῶν, θριξὶ καμήλου σκεπόμενος, τὰς μὲν ὡς φωτολαμπές, κατῴκεις ἀνάκτορον, τὰς δὲ ὡς βασίλειον, περιφέρων κόσμον, σῶν παθῶν κατεβασίλευσας.

Ὁ α΄ Χορὸς




Θεοτοκίον

Ῥυσθείημεν τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου, Θεογεννῆτορ ἁγνή, καὶ τύχοιμεν πάναγνε, τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως, σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Ἕτερος

Ἦχος Γα

Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Χιτῶνά μοι παράσχου

Ἐπήγασας τῷ πλήθει τῶν πιστῶν, Ἰωάννη ἔνδοξε, θεῖα διδάγματα, τὸν ἀμνὸν τὸν τοῦ Θεοῦ καταγγείλας ἡμῖν.

Ὁ α´ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σεμνότητος καὶ βίου ἀκριβοῦς, ἀψευδὲς ὑπόδειγμα, μέμνησο Πρόδρομε, τῶν ὑμνούντων σε Χριστῷ παριστάμενος.

Ὁ β´ Χορὸς




Πρεσβείαις σου Προφῆτα τοῦ Χριστοῦ, Βαπτιστὰ καὶ Πρόδρομε, κόσμον εἰρήνευσον, διασῴζων ἐκ κινδύνων τὰς ψυχὰς ἡμῶν.

Ὁ α´ Χορὸς




Θεοτοκίον

Ἡ μόνη διὰ λόγου ἐν γαστρί, τὸν Λόγον κυήσασα, ῥῦσαι δεόμεθα, τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

Ὁ Διάκονος τὴν μικρὰν συναπτήν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Ὁ β´χορός.




Ὁ Διάκονος

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας,

Ὁ χορός χαμηλοφώνως

(Ὑπεραγία, Θεοτόκε, σῶσον ἡμᾶς.)

μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

## Ὁ β΄ Χορός.




## Ὁ Ἱερεύς·

Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

## Ὁ Ἀναγνώστης ἢ ὁ β΄ Χορός.

## Κοντάκιον Ἦχος πλ. α΄

Ἡ τοῦ Προδρόμου ἔνδοξος ἀποτομή, οἰκονομία γέγονέ τις θεϊκή, ἵνα καὶ τοῖς ἐν Ἅδῃ τοῦ Σωτῆρος κηρύξῃ τὴν ἔλευσιν· θρηνείτω οὖν Ἡρῳδιάς, ἄνομον φόνον αἰτήσασα· οὐ νόμον γὰρ τὸν τοῦ Θεοῦ, οὐ ζῶντα αἰῶνα ἠγάπησεν, ἀλλ' ἐπίπλαστον πρόσκαιρον.

## Ὁ Οἶκος

Τὰ γενέσια τοῦ Ἡρῴδου πᾶσιν ἐφάνησαν ἀνόσια, ὅτι ἐν μέσῳ τῶν τρυφώντων, ἡ κεφαλὴ τοῦ νηστεύοντος παρετέθη ὥσπερ ἔδεσμα, τῇ χαρᾷ συνήφθη λύπη, καὶ τῷ γέλωτι ἐκράθη πικρὸς ὀδυρμός, ὅτι τὴν κάραν τοῦ Βαπτιστοῦ πίνακι φέρουσα, ἐπὶ πάντων εἰσῆλθεν, ὡς εἶπεν, ἡ παῖς· καὶ διὰ οἶστρον, θρῆνος ἐπέπεσε πᾶσι τοῖς ἀριστήσασι τότε σὺν τῷ βασιλεῖ· οὐ γὰρ ἔτερψεν ἐκείνους, οὔτε Ἡρῴδην αὐτόν, φησί, καὶ ἐλυπήθησαν λύπην οὐκ ἀληθινήν, ἀλλ' ἐπίπλαστον πρόσκαιρον.

## Σ υ ν α ξ ά ρ ι ο ν

Τῇ κθ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς ἀποτομῆς τῆς τιμίας κεφαλῆς τοῦ ἁγίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

## Στίχοι

- Τέμνει κεφαλὴν χεὶρ μιαιφόνος ξίφει,
- Τοῦ χεῖρα θέντος εἰς κεφαλὴν Κυρίου.
- Εἰκάδι ἀμφ' ἐνάτῃ Προδρόμου τάμεν αὐχένα χαλκός.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας Θεοδώρας τῆς ἐν Θεσσαλονίκῃ, τῆς ἐξ Αἰγίνης καταγομένης.

Ταῖς τοῦ σοῦ Προδρόμου Χριστὲ πρεσβείαις, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## ᾨδὴ ζ΄ [2]

### Τῆς Θεοτόκου.

Ἦχος Γα

Ὁ α΄ Χορὸς




Οἱ ἐκ τῆς Ἰουδαίας

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ, οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκησας, τῷ κόσμῳ, ἣν προστάτιν ἀνέδειξας. Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὁ β΄ Χορὸς




Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας Μῆτερ, ἁγνὴ δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὁ α΄ Χορὸς




Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας, τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὁ β΄ Χορὸς




---

2 Αἱ ᾠδαὶ ζ΄, η΄ καὶ θ΄ εἰς τὰς ἐνορίας δὲν ψάλλονται, ὁπότε εἰς μετὰ τὴν ἀποφώνησιν τοῦ Συναξαρίου ὁ Διάκονος λέγει τὴν μικρὰν συναπτήν.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστίας, Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστὸν ἡμῖν ἀποτεκοῦσα.

## Κανὼν πρῶτος

### Ἦχος πλ. δ΄

Ἦχος Γα

### Θεοῦ συγκατάβασιν

### Ὁ α΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀκόλαστον ὄρεξιν, δεινήν τε μέθην καθοπλισάμενος, προσβαλὼν κατερράγης, πρὸς ἐγκρατείας πύργον ἀκλόνητον, καὶ σωφροσύνης πρὸς πόλιν ἀπόρθητον, τὸν τοῦ Χριστοῦ Βαπτιστήν, Ἡρῴδη ἄνομε.

### Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐκ ἔφριξε Πρόδρομε, οὐ συνεστάλη οὐ κατενάρκησεν, ἡ μεμαθητευμένη τῷ διαβόλῳ, τὴν σὴν προσφέρουσα, τιμίαν κάραν, ἀναιδῶς ἐν πίνακι, προβιβασμοῖς μητρικοῖς, ἐκμοχλευθεῖσα τὸν νοῦν.

### Ὁ α΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς λύχνος προέλαμψας, προαπεστάλης δὲ ὥσπερ Ἄγγελος, ὡς Προφήτης κηρύττεις, ἀμνὸν Θεοῦ τὸν φανέντα Χριστόν, ὡς μάρτυς ξίφει κεφαλὴν ἐκτέτμησαι, προκαταγγέλλων αὐτόν, καὶ τοῖς ἐν Ἅδῃ νεκροῖς.

### Θεοτοκίον

### Ὁ β΄ Χορὸς




Ῥυσθέντες τῷ τόκῳ σου, τῆς καταδίκης τοῦ πάλαι πτώματος, τὴν φανεῖσαν αἰτίαν, ἐλευθερίας σὲ Μητροπάρθενε, σὺν τῷ Υἱῷ σου τῷ δόντι ἀντίλυτρον, ὑπὲρ ἡμῶν ἑαυτὸν ἀεὶ δοξάζομεν.

### Ἕτερος

Ἦχος Νη

Ὁ α´ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Παῖδες Ἑβραίων

Δοῦλος Δεσπότου παρουσίαν, ἑωσφόρος τε ἥλιον προμηνύων, Ἰωάννης εἰς Ἅδου, ἀνέδραμε κραυγάζων· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὁ β´ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὢ τῆς Ἡρῴδου ἀφροσύνης! τὸν ἰσάγγελον ἐν σώματι ἀΰλῳ, τῷ ἀσέμνῳ γυναίῳ, ὡς παίγνιον δωρεῖται· Εὐλογητὸς εἶ κράζοντα, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὁ α´ Χορὸς




Δέξαι μὲ Ἅγιε Ἁγίων, λιτανεύοντα ὑπὲρ τῆς Ἐκκλησίας, τῷ Δεσπότῃ βοᾷ, ὁ Πρόδρομος κραυγάζων· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὁ β´ Χορὸς




Θεοτοκίον

Ἔστησας ῥύμην τοῦ θανάτου, τὸν ἀθάνατον Θεὸν ὡς συλλαβοῦσα, καὶ τεκοῦσα Ἁγνή, ᾧ πάντες μελῳδοῦμεν· Εὐλογητὸς εἶ Κύριε,

Ὁ α´ Χορὸς

ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὠδὴ η´.

Τῆς Θεοτόκου.

Ἦχος Γα

Ὁ β´ Χορὸς




Τὸν Βασιλέα τῶν οὐρανῶν

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε, Κόρη, εἰς αἰῶνας.

Ὁ α´ Χορὸς




Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε, καὶ ὑπερυψοῦσι τὸν ἄφραστόν σου τόκον.

Ὁ β´ Χορὸς




Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα σε δοξάζω τὴν Κεχαριτωμένην.

Ὁ α´ Χορὸς




Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Κανὼν πρῶτος

Ἦχος … Γα

Ὁ β´ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἑπταπλασίως κάμινον

Ὁ προδραμὼν τοῦ τόκου σου, καὶ τοῦ θείου παθήματος, ἐν τοῖς κατωτάτοις, διὰ ξίφους γίνεται, Προφήτης καὶ Ἄγγελος, καὶ τῆς ἐκεῖ εἰσόδου σου, ὡς φωνὴ τοῦ Λόγου, Ἰωάννης κραυγάζων· Νεκροὶ τὸν ζωοδότην, τυφλοὶ τὸν φωτοδότην, αἰχμάλωτοι τὸν ῥύστην, Χριστὸν ὑπερυψοῦτε.

Ὁ α΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Παρθενικῆς γεννήσεως, προσδραμὼν ἐκ στειρώσεως, νῦν  τῆς ἑκουσίου, τοῦ τὰ πάντα κτίσαντος, ὑπῆρξας σταυρώσεως, προοδευτὴς ἐκτιμήσεως, τῆς κεφαλικῆς, τοῖς ἐν τῷ, Ἅδῃ κραυγάζων· Νεκροὶ τὸν ζωοδότην, τυφλοὶ τὸν φωτοδότην, αἰχμάλωτοι τὸν ῥύστην Χριστὸν ὑπερυψοῦτε.

Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Τῆς Κεφαλῆς τοῦ σώματος, ἐκτμηθείσης σου Πρόδρομε, ἡ τῆς σῆς σαρκὸς ψυχὴ ἡγεμονεύουσα, ἐκ ταύτης διῄρητο, ἀλλ' ἡ Θεότης ἐκ τῆς σαρκός, τοῦ Ἐμμανουὴλ οὐ διῃρέθη ἐντεῦθεν, ὀστοῦν οὐ συνετρίβη τοῦ Θεοῦ καὶ Δεσπότου· διὸ ὑπερυψοῦμεν, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὁ α΄ Χορὸς




Θεοτοκίον

Κυριοτόκε δέσποινα, τῆς ψυχῆς μου τὰ τραύματα καὶ τὰς ὠτειλάς, τῇ  συμπαθεῖ πρεσβείᾳ σου, Παρθένε ἐξάλειψον, καὶ πεπτωκότα ἔγειρον, σῶσόν με πανάμωμε, τόν ἄσωτον σῶσον· σὺ γάρ μου εἶ προστάτις, καὶ ἀντίληψις μόνη, ἁγνὴ εὐλογημένη, εἰς πάντας τοὺς αἰῶνας.

Ἕτερος

Ὁ β΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Εἱρμὸς ὁ αὐτὸς

Παρανομῶν ὁ τύραννος, Ἡρῴδης ὁ ἀλάστωρ ποτέ, καὶ εἰς εὐωχίαν, γενεσίων παρατραπείς, τὴν παῖδα ὀρχήσασθαι, παρασκευάζει ὅρκοις, αὐτὴν πείσας πᾶσαν αἴτησιν αὐτῆς, ἐκπληρῶσαι· ἡ δὲ ἐκβιβασθεῖσα, διδαχαῖς ταῖς  μητρῴαις, ἐν πίνακι αἰτεῖται, τὴν κάραν τοῦ Προδρόμου.

Ὁ α΄ Χορὸς

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Μιαιφονίας ἔγκλημα, ἑαυτῷ κληρωσάμενος, κόλασιν ἀπέραντον, Ἡρῴδης ὁ ἄθλιος, ὁ ἄναξ εἰσπράττεται, παρανομήσας ἄθεσμα· ἔδεσμα γὰρ ὥσπερ, τῇ τραπέζῃ προσάγει, τὴν κάραν τοῦ Προδρόμου, ἀπελέγχουσαν τοῦτον, σὺν τῇ Ἡρῳδιάδι, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ β΄ Χορὸς




Ὁ φαεινός, Ἀπόστολος, τοῦ Κυρίου καὶ Πρόδρομος, μάκαρ Ἰωάννη, Προφητῶν ὁ πρόκριτος, λιταῖς σου περίσῳζε, τοὺς ἐκτελοῦντας πόθῳ σου, μνήμην τὴν φαιδράν, καὶ φωτοφόρον βοῶντας· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὁ α΄ Χορὸς




Θεοτοκίον

Ἁγιωτέρα πέφυκας, τῶν Ἀγγέλων κυήσασα, Κόρη Παναγία, τὸν Ἁγίοις Ἅγιον, δι' οἶκτον γενόμενον, ὅπερ ἐσμὲν ἀφύρτως βροτοί, σῶσαι τοὺς αὐτῷ, ἀναβοῶντας ἀπαύστως· Οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε,

Ὁ β΄ Χορὸς

Χριστὸν εἰς τοὺς αἰῶνας.

Καταβασίαι
Εἰς τὴν Ὕψωσιν τοῦ Τιμίου Σταυροῦ




Ὠδὴ α΄

Ὁ α΄ Χορὸς




## Ὠιδὴ γ΄

### Ὁ β΄ Χορὸς




### Ὁ α΄ Χορὸς



## Ὠιδὴ δ΄

### Ὁ β΄ Χορὸς

Ε ι σα κη κο α Κυ ρι ε της οι κο νο μι ι ας Σου το

μυ στη ρι ον κα τε νο η σα τα ερ γα Σου και ε δο

ξα σα Σου την θε ο τη τα

## Ὠιδὴ ε΄

### Ὁ α΄ Χορὸς

Ω τρι σμα κα ρι ι στον ξυ υ υ λον εν ω ε τα α θη Χρι

στος ο Βα σι λευς και Κυ ρι ος δι ου πε πτω κε ο

ξυ λω α πα τη η σας τω εν Σοι δε λε α σθεις Θε ω

τω προσ πα γεν τι σαρ κι τω πα ρε χο ον τι τη ει ρη νην

ταις ψυ χαι αις η η μων

## Ὠιδὴ ς΄

### Ὁ β΄ Χορὸς

Ν ο τι ου θη ρο ος εν σπλα α αγ χνοις πα λα μας Ι ω νας

σταυ ρο ει δως δι εκ πε τα σας το σω τη ρι ον πα α θος προ




## Ὠιδὴ ζ΄

### Ὁ α΄ Χορὸς



Υ περ υ μνη η τοος των Πα τε ρων και η μων Θε ος ευ λο γη τος ει

## Ὠιδὴ η΄

### Ὁ β΄ Χορὸς

Αι νου μεν ευ λο γου μεν και προσ κυ νου ου ου μεν τον Κυ ρι ον

Ευ λο γει ει τε παι αι αι δες της Τρι α δος ι σα ριθ μοι δη μι ουρ γον Πα τε ρα Θε ον υ μνει ει τε τον συγ κα τα βαν τα Λο ο ο γον και το πυρ εις δρο ο σον με τα α ποι η σαν τα και υ περ υ ψου ου τε το πα α σι ζω ην πα ρε ε χον Πνευ μα Παν α γι ον εις τους αι ω ω ω να α α ας

Ὁ διάκονος·

Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

## Ἡ Τιμιωτέρα ([3])

Ἦχος λ/π Νη

### Ὁ α΄ Χορὸς

Μ ε γα λυ νει η ψυ χη μου τον Κυ ρι ον και
η γαλ λι α σε το πνευ μα μου ε πι τω Θε ω ω ω
τω Σω τη ρι μου

Την Τι μι ω τε ραν των Χε ρου βιμ και εν δο ξο τε
ραν α συγ κρι ι ι τως των Σερα φειμ την α δι α φθο
ρως Θε ον Λο ο γον τε κου ου σαν την ον τως Θε ο το κον
σε με γα λυ υ νο ο μεν

### Ὁ β΄ Χορὸς

Ο τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης Αὐτοῦ, ἰδοὺ γὰρ ἀπὸ
τοῦ νῦν μα κα ρι ου σι με πα α α σαι αι γε νε αι

---

[3] Ἡ Τιμιωτέρα ψάλλεται κανονικῶς εἰς τὸν ἦχον τοῦ α΄ Κανόνος. Ἐὰν δὲν ψαλῇ ἡ θ΄ ᾠδή, τότε ἡ Τιμιωτέρα ψάλλεται εἰς τὸν ἦχον τῶν Καταβασιῶν.

Την Τι μι ω τε ραν των Χε ρου βιμ και εν δο ξο τε
ραν α συγ κρι ι ι τως των Σερα φειμ την α δι α φθο
ρως Θε ον Λο ο γον τε κου ου σαν την ον τως Θε ο το κον
σε με γα λυ υ νο ο μεν

Ὁ α΄ Χορὸς

Θ τι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ Ἅγιον τὸ ὄνομα Αὐτοῦ, καὶ τὸ ἔλεος Αυτοῦ εις γε νε αν και γε νε αν τοις φο βου με ε
νοις Αυ τον

Την Τι μι ω τε ραν των Χε ρου βιμ και εν δο ξο τε
ραν α συγ κρι ι ι τως των Σερα φειμ την α δι α φθο
ρως Θε ον Λο ο γον τε κου ου σαν την ον τως Θε ο το κον
σε με γα λυ υ νο ο μεν

Ὁ β΄ Χορὸς


Ε ποι η σε κράτος ἐν βραχίονι Αὐτοῦ, διεσκόρπισεν υ περ
η φα νους δι α νοι α καρ δι ας αυ των
Την Τι μι ω τε ραν των Χε ρου βιμ και εν δο ξο τε
ραν α συγ κρι ι ι τως των Σερα φειμ την α δι α φθο
ρως Θε ον Λο ο γον τε κου ου σαν την ον τως Θε ο το κον
σε με γα λυ υ νο ο μεν
Ὁ α΄ Χορὸς
Κα θει λε δυ να στας α πο θρο νων κει υ ψω σε
τα πει νους πει νων τας ε νε πλη σεν α γα θων και
πλου του ουν τας εξ απ ε στει λε κε νους
Την τι μι ω τε ε ραν των Χε ρου βιμ και εν δο ξω
τε ε ραν α συγ κρι ι τως των Σε ρα φειμ την α δι α φθο

ρως Θε ον Λο ο γον τε κου ου σαν την ον τως Θε ο το κον

σε με γα λυ υ νο ο μεν

Ὁ β΄ Χορὸς

Α ν τε λα βε το Ἰσραὴλ παιδὸς Αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν τω Α βρα αμ και τω σπερ μα

τι αυ του ε ως αι ω νος

Ὠδὴ θ΄

Τῆς Θεοτόκου.

Ἦχος Γα

Ὁ α΄ Χορός

Ὁ Εἱρμὸς

Κ υ ρι ι ως Θε ο το κον σε ο μο λο γου ου μεν οι

δι α σου σε σω σμε νη Παρ θε ε νε α γνη συν α σω

μα τοις χο ρει αις σε με γα λυ νον τες

Ὁ β΄ Χορός

Υ πε ρα γι α Θε ο το κε σω σον η μας

Ῥοήν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸν παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε, Χριστὸν κυήσασα.

Ὁ α΄ Χορός




Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον, Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην, ἐξαφανίσασα.

Ὁ β΄ Χορός




Λιμὴν καὶ προστασία, τῶν σοὶ προσφευγόντων, γενοῦ Παρθένε, καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη, καὶ ἀγαλλίαμα.

Ὁ α΄ Χορός




Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον, Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον, σὲ καταγγέλλοντας.

Ὁ β΄ Χορός




Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα, Παρθένε, θεράπευσον, ἐξ ἀρρωστίας εἰς ῥῶσιν, μετασκευάζουσα.

Κανὼν πρῶτος

Ἦχος λ π Νη

Ὁ α΄ Χορός

Πρόδρομε τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἔφριξε πᾶσα ἀκοὴ

Ἔφριξε φάλαγξ πονηρά, καὶ ὁ ταύτης πρωτοστάτης διάβολος, τὴν θεολόγον σου, Προφῆτα γλῶσσαν Χριστὸν κηρύττουσαν, καὶ διὰ κόρης ἀσελγοῦς, Ἡρῴδην ἀνέπεισε, καρατομῆσαί σε· ἀλλ' ἡμεῖς σε οἱ πιστοὶ μεγαλύνομεν.

Ὁ β΄ Χορός

